Τὸ δὲ ἐν πᾶσι τοῖς κατὰ βίον ἡδέος μεσότης μὲν, φιλία. ὑπερβολὴ δὲ τῆς φιλίας, ἡ μὲν ἐπὶ χρήμασι νεύουσα, κολακεία. ἡ δὲ μὴ, ἀρέσκεια. καὶ ὁ ἔχων ταύτην, ἄρεσκος καλεῖται καὶ δύσερις:·

ια.

Κολακεία. Φιλία. ἀρέσκεια.

Εἰσὶ δὲ καὶ ἐν τοῖς πάθεσι καὶ περὶ τὰ πάθη μεσότητες δύο, οὐκ εἰσὶ δὲ ἀρεταὶ κατ' αὐτὸν τὸν Ἀριστοτέλην. ἐπαινοῦνται δὲ ὅμως. ὧν ἡ μὲν νέμεσις. ἡ δὲ, αἰδὼς λέγεται. καὶ νεμεσητικός ἐστιν, ὁ ἐπὶ τῇ εὐπραγίᾳ τῶν κακῶν λυπούμενος. τούτου δὲ μέσου ὄντος, ὁ μὲν ὑπερβάλλων φθονερός. ὁ δὲ ἐλλείπων, ἐπιχαιρέκακος λέγεται.

| | |
|---|---|
| Ἀναίσχυντος | Φθονερός. |
| Αἰδώς: | νεμεσητικός. |
| καταπλήξ. | ἐπιχαιρέκακος. |

ἀναίσχυντός ἐστιν ὁ μηδόλως μηδένα αἰδούμενος. καταπλήξ ἐστιν ὁ πάντα τὸν περιτυχόντα αἰδούμενος:·

Λέγομεν δὲ καὶ περὶ ἐγκρατείας, καὶ καρτερίας, ὅτι οὐκ εἰσὶν ἀρεταί, ἀλλὰ μικταί. αἷς ἐναντίαι, ἥ τε ἀκρασία, καὶ μαλακία. καὶ οὐχ ἡμεῖς τοῦτο φαμὲν, ἀλλ' αὐτὸς Ἀριστοτέλης πρὸς τῷ τέλει τοῦ τετάρτου τῶν ἠθικῶν. καταγίνονται δὲ αἱ τοιαῦται πᾶσαι περὶ ἡδονὰς καὶ λύπας τὰς δι' ἁφῆς τε καὶ γεύσεως, τὰς καὶ λυσσώδεις ἐπονομαζομένας ὀρέξεις, ὧν τούτων δὲ ἐστὶ σωφροσύνη καὶ ἐγκράτεια. ἦν γὰρ ἂν ἀρετὴ τελεία ἡ ἐγκράτεια. ἀλλ' οὐκ ἔστι, μικτὴ γὰρ. ὁ μὲν οὖν σώφρων κρατεῖ, καὶ οὐκ ἔχει τὸ ἄγεσθαι. ὁ δὲ ἐγκρατὴς, οὐθ' ἡττᾶται. ἑαυτοῦ δὲ τὸ κρατεῖν, καὶ τὸ μὴ ἡττᾶσθαι. τὸ μὲν γὰρ κρατεῖν, δεσπόζον, καὶ κυριεῦον ἐστί. τὸ δὲ μὴ ἡττᾶσθαι ἰσοπαλές. ὁμοίως δὲ λέγομεν καὶ περὶ ἀκρασίας καὶ μαλακίας, ὅτι εἰσὶ κακίαι πως, ἐξ ὧν ὁ ἀκρατὴς τὸν μὲν λόγον ἐρρωμένον ἔχει παντάπασι. καὶ δῆλον ὡς λυπεῖται ἐπὶ τὴν πρᾶξιν. τὴν δὲ ὄρεξιν, φαύλην τε καὶ ἀπαίδευτον. καὶ δῆλον ὡς ὑποχαλᾶσθαι εὐθὺς προσβαλλούσης αὐτῷ ταύτης, καὶ μαλακιζούσης.

Ἔστι δὲ καὶ ἄλλη τις ἐναντιότης, ἀντικειμένη καθ' ἄκραν ἀπόστασιν. θειότητα λέγω, καὶ θηριότης. ἄμφω δὲ σπάνια ἐν ἀνθρώποις. τὸ μὲν γὰρ ἐν τοῖς κατὰ θεὸν πολιτευομένοις, καὶ ἐν ἁγίοις μόνοις εὑρίσκεται, ὁποῖος ἦν Ἠλίας, ὁ τῶν πυρίνων ἵππων ἁρματηλάτης. ὁποῖος Παῦλος ὁ εἰς τρίτον οὐρανὸν ἀρθεὶς, καὶ τῶν ἀπορρήτων ἀκούσας ῥημάτων, καὶ οἱ τούτοις ὅμοιοι. θηριότης δὲ, σπάνιον μὲν ὡς εἴρηται ἐν Ἕλλησι. καὶ μᾶλλον τοῖς ἐξ ἑλλήνων Χριστιανοῖς ἅπασι. πολλὴ δὲ ἡ θηριότης καὶ φύσει ἐν βαρβάροις. οἷον ἐν Πέρσαις, σκύθαις. σαρρακηνοῖς. ἰσμαηλίταις. καὶ ἄραψι, καὶ μᾶλλον τούτων τῶν πέντε ἐθνῶν, τοῖς σκύθεσι:·

Καὶ τὰ μὲν περὶ τῶν ἠθικῶν ἀρετῶν τέλος ἐχέτω. ἡμῖν δὲ δοίη κύριος διά τε πράξεως καὶ θεωρίας πρὸς αὐτὸν ἀναβῆναι, καὶ τῆς βασιλείας αὐτοῦ ἀξιωθῆναι, εὐχαῖς τῶν ὁλοκλήρως αὐτῷ εὐαρεστησάντων ἁγίων,

:· ἀμήν :–